# PHILOXENUS

## I

*Τληπόλεμός ⟨μ'⟩ ὁ Μυρεὺς Ἑρμᾶν ἀφετήριον ἕρμα*
*ἱροδρόμοις θῆκεν παῖς ὁ Πολυκρίτεω*
*δὶς δέκ' ἀπὸ σταδίων ἐναγώνιον· ἀλλὰ πονεῖτε*
*μαλθακὸν ἐκ γονάτων ὄκνον ἀπωσάμενοι.*

# CRATES

## I

*Χοιρίλος Ἀντιμάχου πολὺ λείπεται· ἀλλ' ἐπὶ πᾶσιν*
*Χοιρίλον Εὐφορίων εἶχε διὰ στόματος,*
*καὶ κατάγλωσσ' ἐπόει τὰ ποήματα, καὶ τὰ Φιλητᾶ*
*ἀτρεκέως ᾔδει· καὶ γὰρ Ὁμηρικὸς ἦν.*

# DAMAGETUS

## I

*Ἄρτεμι, τόξα λαχοῦσα καὶ ἀλκήεντας ὀιστούς,*
*σοὶ πλόκον οἰκείας τόνδε λέλοιπε κόμης*
*Ἀρσινόη θυόεν παρ' ἀνάκτορον ἡ Πτολεμαίου*
*παρθένος ἱμερτοῦ κειραμένη πλοκάμου.*